

ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
ΠΑΝΑΓΙΑΣ

Ἐτήσιον ἐπιτελοῦμεν ἑορτὴν εἰς τιμὴν καὶ μνήμην τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας τῆς

"ΟΔΗΓΗΤΡΙΑΣ„

Ἰουνίου κ.΄

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου †

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασι.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τὴν Θεοτόκον; τὴν τῶν εὐσεβῶν ὁδηγήτριαν, καὶ συμπαθεστάτην προστάτιδα, καὶ πρὸς σωτηρίαν κυβερνῆτιν, τὴν πάντας, καθοδηγοῦσαν πρὸς τὰ κρείττονα, καὶ τρίβον, ἡμῖν τὴν ἔνθεον δεικνύουσαν, τὸ καταφύγιον κόσμου, καὶ θερμὴν μεσῖτιν, πρὸς τὸν λάμψαντα ἐξ αὐτῆς, δι' ἧς πᾶσι δίδοται, ἱλασμὸς καὶ μέγα ἔλεος.

Ποίοις μελωδικῶς μέλεσι, μεγαλύνωμεν τὴν Θεοτόκον; τὸ τῆς ἀγαθότητος πέλαγος; καὶ τῆς εὐσπλαγχνίας τὴν πρύτανιν, τὸν τῶν οἰκτιρμῶν τερπνὸν χειμάρρουν· τὴν σκέπην, τῆς Ἐκκλησίας τὴν ὁλόφωτον, τὴν κρήνην, τῆς συμπαθείας τὴν γλυκύρροον, τὴν ἀσφαλῆ ὁδηγίαν, τὴν καθοδηγοῦσαν, πρὸς εἰσόδους τῶν ἀρετῶν, ἡμᾶς τοὺς ἐκ πίστεως, ἀφορῶντας αὐτῇ πάντοτε.

Ὑμνοις σὲ ταπεινῶς μέλπομεν, Ὁδηγήτρια Θεογεννῆτορ· ὅτι ὁδηγὸς καὶ ὑπέρμαχος, καὶ οἰακοστρόφος ἀκοίμητος, πέλεις τῶν προσφύγων σου Παρθένε, καὶ λύεις, τῶν πειρασμῶν τὰ πικρὰ κύματα, καὶ ἔνδον, πρὸς τὸν λιμένα τὸν γαλήνιον, τῶν τοῦ Θεοῦ θεληματων, μητρικῶς ἰθύνεις, τοὺς καθ' ὥραν ἀπὸ ψυχῆς, βοήθει βοῶντάς σοι, Θεοτόκε τοῖς ἱκέταις σου.

Ἕτερα Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὴν νεφέλην τὴν ἔμψυχον, τὴν οὐράνιον κλίμακα, τὸ σεπτὸν ἁγίασμα τοῦ Θεοῦ ἡμῶν, τὸ τῶν πιστῶν ἱλαστήριον, καὶ μέγα προσφύγιον καὶ τερπνὴν ἀναψυχήν, τὴν ἐν κόσμῳ βραβεύουσαν, χάριν ἄφθονον, ἀνυμνήσωμεν κράζοντες συμφώνως· Ὁδηγήτρια Παρθένε, σῶσον ἡμᾶς πάσης θλίψεως.

Ὁδηγεῖς ἀσφαλέστατα, καὶ ἰθύνεις ἑκάστοτε, πρὸς ζωὴν ἀθάνατον καὶ ἀΐδιον, τοὺς ὁλικῶς προσπελάζοντας, Παρθένε Πανάμωμε, τῇ λαμπρᾷ σου ἀρωγῇ, καὶ βοῶντας ἐκ πίστεως· χαῖρε ἄγκυρα, ἀρραγὴς καὶ βεβαία τῆς ἐλπίδος, ὁδηγήτρια καὶ φύλαξ, καὶ προστασία τῶν δούλων σου.

Ὡς θερμὴν ὁδηγίαν σε, καὶ γλυκεῖαν προμήθειαν, καὶ στερρὰν ἀντίληψιν Παντευλόγητε, χαρμονικῶς μακαρίζομεν, καὶ τὴν ἡλιόμορφον, καὶ ἁγίαν σου μορφήν, ἐν Εἰκόνι θεώμενοι, ἀγαλλόμεθα, προσκυνοῦντες αὐτὴν καὶ ἐκβοῶντες Ὁδηγήτρια Παρθένε, σῶζε τοὺς σὲ μεγαλύνοντας.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Τὴν ὁδὸν τῆς ζωῆς, τὸν Ὑπέρθεον Λόγον, σαρκὶ κυοφορήσασα, κόσμον ἐκ φθορᾶς ἀνεκαλέσω, Θεοτόκε Παρθένε Ἄχραντε· τῇ γὰρ ἐκ σοῦ προσληφθείσῃ φύσει, θανατώσας τὸν θάνατον, ἀθανασίαν καὶ ζωήν, τοῖς θνητοῖς ἐβράβευσεν. Ὅθεν ὁδηγὸς φανεῖσα ἁπλανής, τοὺς πεπλανημένους χειραγωγεῖς, πρὸς σωτηρίαν αἰώνιον. Ἐν ταύτῃ καὶ ἡμᾶς ὁδήγησον, τοὺς ἐκ πόθου ἀνυμνοῦντάς σε, Ὁδηγήτρια Δέσποινα.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα τῆς 21ης Νοεμβρίου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Λαβιτικῶς ἀγαλλιᾶσθε, οἱ εὐθεῖς τῇ καρδίᾳ, οἱ τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν, ἀγαπῶντες τὴν δόξαν. Ἰδοὺ γὰρ ἡ Παντάνασσα Μαρία, ἡ παντευεργέτις ἡμῶν καὶ ἔφορος, τοῦ βίου ἡμῶν τὰς ἡνίας, οἰκείαις χερσὶν ἐγχειρίζεται· καὶ διέπει τὰ καθ' ἡμᾶς εὐθέτως, καὶ καθοδηγεῖ ἀσφαλῶς, ἐκ πάσης περιπλανήσεως, τοὺς μετὰ πόθου βοῶντας· Ὁδηγήτρια εὔσπλαγχνε, μὴ ἀφῇς ἡμᾶς ἐν ὁδῷ ἐρήμῳ, ἀλλ' ὁδήγει τὰς ψυχὰς ἡμῶν, πρὸς κληρουχίαν ἀνώλεθρον.

Ὁ αὐτός.

Ἡγουμένη τῶν δούλων σου, ὡς νεφέλη στυλοειδής, ὁδηγεῖς ἡμᾶς ἑκάστοτε πρὸς μακαρίαν κατάπαυσιν· μητρικῇ γὰρ καμπτομένη χρηστότητι, ἀοράτως ἐπιφαίνῃ, καὶ τῆς τοῦ κόσμου μοχθηρίας ἐξάγεις, ἐπισκοπῇ φιλευσπλάγχνῳ σου, Θεοτόκε τοὺς βοῶντας: Ἴδε ἡμῶν τὴν ταπείνωσιν, ἡ τῆς συμπαθείας βρύσις, καὶ ἐξ ὁδοῦ πονηρᾶς ἡμᾶς ὁδήγησον, εἰς τὴν πρὸς ζωὴν ὁδὸν ἄγουσαν.

Ὁ αὐτός.

Τὴν τῶν πιστῶν ἡγήτειραν, καὶ ὁδηγήτριαν πρὸς Θεόν, τὴν Θεοτόκον Μαρίαν, ὑμνήσωμεν λέγοντες· χαῖρε ἡ λαμπηδὼν τῆς ζωῆς, ἡ ἐν κόσμῳ διαυγάζουσα, ἀθανασίας σελαγίσματα· χαίροις ἡ

ἄμεσος εἰκών, τῶν θεϊκῶν προσόντων, ἡ τοῖς ἐπιβοωμένοις σε, σωτηρίαν ὀρέγουσα· χαῖρε τῆς Ἐκκλησίας ὑπέρμαχε, καὶ ὁδηγία καὶ περίθαλψις, τῶν κεκακωμένων. Ἀλλ' ὦ Παρθένε Πανύμνητε, μὴ παύσῃ προνοοῦσα, τῶν ὁλοψύχως αἰτουμένων σε.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Παρθενικῆς ἐλλάμψεως, ἡ ἀγαθότροπος εὔνοια, τῇ Ἐκκλησίᾳ ἔλαμψε, τοὺς εὐσεβεῖς περιθάλπουσα· τοῦ γὰρ ἀδύτου φωτὸς ἡ νεφέλη, τὰς εὐεργετικὰς αὐτῆς ἀκτῖνας, τῇ οἰκουμένῃ ἐφαπλοῖ, καὶ πρὸς ζωὴν συνάγει αἰώνιον, τοὺς σκορπισθέντας τῇ φθορᾷ· ὡς γὰρ ὁ στύλος τοῦ πυρός, πάλαι τὸν Ἰσραὴλ ὡδήγει, οὕτω καὶ νῦν ἡ Θεόνυμφος, ἡμᾶς χειραγωγεῖ, εἰς τὴν πρὸς Θεὸν οἰκίεωσιν. Ταύτην οὖν δοξάσωμεν, Προφητικῶς βοῶντες. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἐν γενεαῖς γενεῶν, Θεοτόκε Δέσποινα, ὁδηγία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ τῶν πιστῶν ὁδηγός, καὶ κυβερνῆτις ἀσφαλὴς καὶ περίθαλψις, ἡ πάντας καθοδηγοῦσα, ἐξ ἀνοδίας κακῶν, πρὸς ὁδὸν εὐθεῖαν βίου κρείττονος· πεσόντων ἀνόρθωσις, θλιβομένων παράκλησις, πεπλανημένων, πρὸς Θεὸν ἐπανάκλησις, πλοῦτος ἄσυλος, ὀρφανῶν καὶ ἐπίκουρος. Ἄχραντε Παντευλόγητε, βροτῶν ὁδηγήτρια, ἡ πρὸς Θεὸν ὁδηγοῦσα, τοὺς ἐκ μυχίων βοῶντας σοι· Σὺ εἶ σωτηρία, καὶ χαρὰ καὶ θυμηδία, ἡμῶν Πανύμνητε.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Χαίροις ὁ θησαυρὸς τῆς ζωῆς, χαριτοφύτευτος λειμὼν χαριτόβλαστος, ἡ ἔμψυχος μυροθήκη, ἡ τὴν ὀσμὴν τὴν τερπνήν, οἰκτιρμῶν πλουσίων διαπνέουσα· πυρίμορφον ὄχημα, τοῦ Δεσπότου τῆς κτίσεως, χρυσέα στάμνος, ἡ τὸ μάννα τὸ ἄνωθεν, τὸ ἡδύτατον, τοῖς ἐν κόσμῳ ὀμβρήσασα, Ἄμωμε Πολυδόξαστε, βροτῶν Ὁδηγήτρια, ἡ πρὸς οὐράνιον λῆξιν, τοὺς σοὶ βοῶντας ἰθύνουσα. Σὺ εἶ προστασία, καὶ σεπτὴ παρηγορία, ἡμῶν Πανάφθορε.

Στίχ. Ἄκουσον θύγατερ καὶ ἴδε...

Χαίροις ἡ τοῦ παντὸς Βασιλίς, τῆς οὐρανίου βασιλείας ἡ εἴσοδος, ἑστία καὶ ταμιοῦχος, θεαρχικῶν ἀγαθῶν, μυστηρίων θείων ἀποκάλυψις· ἐλαία κατάκαρπος, μητρικῆς ἱλαρότητος, ἡ τοῦ Υἱοῦ σου, συγκινοῦσα πρὸς ἔλεος, τὸ φιλάνθρωπον, ἐφ' ἡμῖν τοῖς ἱκέταις σου, Ἄφθορε Πανακήρατε, βροτῶν Ὁδηγήτρια, ἡ ὁδηγοῦσα Κυρίῳ, τοὺς γηθοσύνως κραυγάζοντας. Σὺ εἶ στερρὸν τεῖχος, καὶ προπύργιον ἰσχύος, ἡμῶν Πανάμωμε.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Λεῦτε ἅπαντες πιστοί, τὴν Θεοτόκον Μαρίαν, τῶν εὐσεβῶν τὴν Ὁδηγήτριαν χαρμονικῶς αἰνέσωμεν· ἀοράτως γὰρ παραγίνεται, ὁδηγοῦσα καὶ διέπουσα ἡμᾶς, πρὸς τὰ καλὰ καὶ συμφέροντα, δι' οἶκτον ἀμέτρητον. Ἡ λαμπὰς ἡ χρυσαυγής, ἡ θεοβάδιστος χώρα, ἡ ἀνθηφόρος ῥάβδος καὶ θεόφυτος, ὁ ἀχειρόπλοκος νυμφὼν τῆς δόξης, ἔνθα Χριστὸς ὁ Λόγος, τὴν φύσιν ἡμῶν ἐνυμφεύσατο, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς στύλος πυρίμορφος, καὶ ὁδηγία λαμπρά, πρὸς κλῆρον ἀκήρατον, καθοδηγεῖς, ἀσφαλῶς, ἡμᾶς Ὁδηγήτρια· σὺ γὰρ πρὸς ἐπιδόσεις, τὰς βελτίους ἰθύνεις, θεία ἐπισκοπῇ σου, τοὺς πιστῶς σοι βοῶντας· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Ἐκ γ΄.

Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὴν σὴν πανευκλεῆ, ἡγεσίαν ἐν βίῳ, μηδόλως ἀγαθή, ἀφ' ἡμῶν ἀποστήσῃς, ἀλλ' ἔκτεινον τὴν χεῖρα σου, καὶ ὁδήγει Πανάχραντε, τοὺς τὴν χάριν σου, ἀπὸ ψυχῆς αἰτουμένους, πρὸς οὐράνιον εὐθυδρομίαν Παρθένε, πιστῶν Ὁδηγήτρια. (Δίς).

Μετὰ τὴν β΄ στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατευθύνεις Μητρικῶς, καὶ οἰακίζεις ἀσφαλῶς, αὐτοχείρως καὶ στερρῶς, ἐπὶ λιμένα νοητόν, τοὺς ἀφοροῦντας Παρθένε ἐπὶ τὴν σκέπην σου· τί οὖν σοι καὶ ἡμεῖς, προσενέγκωμεν, πάντων τῶν καλῶν, ἀπορούμενοι; ἀλλ' ἢ τὸ χαῖρε τοῦ Γαβριὴλ μετὰ πόθου, χαῖρε σκηνὴ θεοχώρητε, χαῖρε ἀνθρώπων, ἡ κυβερνῆτις, καὶ πρὸς Θεὸν Ὁδηγήτρια. (Δίς).

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τῇ ἀρωγῇ τῆς λαμπρᾶς σου ὁδηγίας, εὐθυδρομοῦντες πρὸς ὁδὸν δικαιοσύνης, καὶ πρὸς θείαν ἀγάπησιν Κόρη τοῦ Τἱοῦ σου, τῆς ὕλης τῆς σφαλλομένης καὶ γεηρᾶς, τὴν σχέσιν ἀπολεγόμενοι

νουνεχῶς, ἀνυμνοῦμεν τὸ μέγεθος, τῶν μεγαλείων σου Ἁγνή, καὶ πόθῳ σοι κραυγάζομεν· Χαῖρε νύμφη ἀνύμφευτε. (Δίς).

Τὸ α΄ αντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.
Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον θύγατερ καὶ ἴδε...

Εὐαγγέλιον τῆς 8ης Σεπτεμβρίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τῆς Θεοτόκου...

Καὶ νῦν. Ταῖς τῆς Παναχράντου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Πρὸ τῆς θεϊκῆς οἰκονομίας ταμεῖον, ἡ πρὸ τόκου καὶ ἐν τόκῳ, καὶ μετὰ τόκον Παρθένος, ἡ τῶν Χριστιανῶν προμηθουμένη, καὶ πάντας καθοδηγοῦσα πρὸς θείαν εὐαρέστησιν, ἐκ δεινῶν με ἐπανάγαγε πλανήσεων, καὶ ἐν ὁδῷ με ἀληθείας ὁδήγησον, Μαρία Ὑπερένδοξε, ἁμαρτανόντων ἐπανόρθωσις.

Εἶτα οἱ Κανόνες.

Κανὼν πρῶτος οὗ ἡ ἀκροστιχίς.

«Ὁδήγησον ἡμᾶς Παρθένε Κυρίῳ. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ἄσῳ γηθόμενος, ταύτης τὰ θαύματα. (Δίς).

Ὁδήγησον Δέσποινα, τῇ προμηθείᾳ τῆς δόξης σου, ἐκ πλάνης τοῦ ὄφεως, πρὸς θείαν ἔλλαμψιν, ἱκετεύω σε, καὶ νοῦν μου καὶ καρδίαν, ὡς ἂν ἐκ δυνάμεως, μέλψω τὴν χάριν σου.

Ἡγήτειρα ἔφορος, καὶ ἁπλανὴς ὁδηγήτρια, ἀεὶ ἔσο Δέσποινα, τοῖς ἀφορῶσι πρὸς σὲ κατευθύνουσα, πρὸς γὴν ἐπαγγελίας, τῆς ἄνω φαιδρότητος, τοὺς σὲ δοξάζοντας.

Τεννήτρια ἄφθορος, καὶ γαλουχὸς πανακήρατος, Θεοῦ χρηματίσασα, τοῦ βρεφωθέντος ἐκ σοῦ, θάμβος ἔκπαγλον, καὶ ἔκπληξις Ἀγγέλων, ἐδείχθης βαστάζουσα, τὸν ἀπερίληπτον.

Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχίς,

«Ἡγήτειρα ἡμῶν σὺ εἶ Θεοκύμων. Γερασίμου».

Τὰ δὲ ἐν αὐτῷ νοήματα εἰσὶν εἰλημμένα ἐκ τοῦ Ἄσματος τῶν Ἀσμάτων.

Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

Ἔνθησας ὥσπερ κρίνον, ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ ὡς ἄνθος εὐῶδες τερπνῶν κοιλάδων πέφηνας, ὀσμὴν χαριτόβρυτον, τοῖς πέρασι πνέουσα, Θεοχώρητε Ὁδηγήτρια.

Τῆ ἀρωματοφόρος, ἀνθοῦσα παρθενικῶς, κρόκον νάρδον καὶ κύπρον, κάλαμον καὶ κιννάμωμον, χαρίτων τὴν ἄνθησιν, ὤφθης τὴν μυρίπνοον, θεοδόξαστε Ὁδηγήτρια.

Ἔνεγκας ἐν κοιλίᾳ, τὸ μύρον τὸ τῆς ζωῆς, ὡς ἀλάβαστρον ἔμπνουν, καὶ μυροθήκη εὔοσμος, καὶ κόσμον ἐκπλήρωσας, εὐωδίας κρείττονος, Πολυδόξαστε Ὁδηγήτρια.

Ποῖ ὡραιώθης ὅλη! τί δὲ ἡδύνθης τερπνῶς, ἡ καλὴ καὶ ὡραία ἐν γυναιξὶ καὶ πάναγνος! ἀλλ' ὦ ὡραιόμορφε, τὴν ψυχήν μου κάλλυνον, τῇ σῇ χάριτι Ὁδηγήτρια.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ποὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον. (Δίς).

Ἡ πύλη Θεοῦ ἡ φωτοφόρος, ἡ πάντων μεσίτρια βροτῶν, Παρθένε Ὁδηγήτρια πρὸς μετανοίας εἴσοδον, ὡς ἀγαθὴ κυβέρνησον, τοὺς πεποιθότας τῇ σκέπῃ σου.

Σαρκὶ ἑνωθεὶς τῇ ἀνθρωπείᾳ, ἐκ σοῦ ὁ τῶν ὅλων Ποιητής, Παρθένε Ὁδηγήτρια, σὲ ὁδηγὸν σωτήριον τοῖς πλανωμένοις ἔδειξε, καὶ κυβερνῆτιν πανάριστον.

Ὁδὸς ἁπλανὴς δικαιοσύνης, καὶ τρίβος ἐνθέων ἀρετῶν, Παρθένε Ὁδηγήτρια, οἰκείᾳ ἀγαθότητι, γενοῦ ὡς εὐσυμπάθητος, τοῖς ἀνυμνοῦσι τὴν δόξαν σου.

Ἡ αμάτων ἀΰλων ψυχοτρόφων, τὸ ὕδωρ τὸ ζῶν τὸ λογικόν, ὡς κρήνη ζωοπάροχος, ἀγαθοδότως πήγασον, τοῖς τηκομένοις πάθεσι, Παντοβασίλισσα Δέσποινα.

Δεύτερος. Ὁ πήξας ἐπ' οὐδενός.

Ἐκκύπτων διὰ τῶν σῶν, θυρίδων ὁ Κύριος, εἰς ὀσμὴν τῶν μύρων τῶν τῆς ἁγνείας σου, ὥσπερ κρίνον ἔφυσεν ἐν σοί, σάρκα λαβὼν βροτείαν, ἐκ τῶν ἀχράντων αἱμάτων σου, μόνη τῶν βροτῶν Ὁδηγήτρια.

Ἴδοὺ εἶ περικαλλής, ἡ οὖσα πλησίον μου, λελευκανθισμένη ἀχράντοις κάλλεσιν· ὡς γὰρ εὐδοκία ἐκλεκτή, ὤφθης μοι πρὸ αἰώνων, ὁ σὸς Υἱὸς ἀνακράζει σοι, Κόρη τῶν πιστῶν Ὁδηγήτρια.

Πρευσάτωσαν δαψιλῶς, νεφέλη μυροδότε, οἱ τῶν ἀρωμάτων τῶν ἡδυπνόων σου, ὄμβροι καὶ ψεκάδες αἱ τερπναί, ἀρδεύουσαι τὴν ψυχήν μου, πρὸς ἀνθοφόρον ἐκβλάστησιν, Πάναγνε ἡμῶν Ὁδηγήτρια.

Ῥώματα νοητά, αἱ χεῖρες σου στάζουσιν, αἱ ἀποστολαί σου δὲ αἱ οἰκτίρμονες, πρώτων μύρων δόσις διειδής, καὶ σμύρνα Ἀλώη ἡδίστη, τοῖς ἐπὶ γῆς χρηματίζουσι, τῶν θεοφιλῶν Ὁδηγήτρια.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς ὄντως φιλόστοργος, ἡ ὁδηγία ἡ σή, ἡμῖν ἀναδέδεικται, ἐν πολυτρόποις δεινοῖς, Ἁγνὴ Ὁδηγήτρια· σὺ γὰρ ἐν περιστάσει, ἀσφαλὴς κυβερνῆτις, τῶν περιστατουμένων, ἀληθῶς χρηματίζεις· διὸ Θεογεννήτρια, ὑμνοῦμεν τὴν χάριν σου.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δύναμει σου Κύριε.

Ἥλιον τὸν ἄδυτον σωματικῶς, ηὔγασας Ἁγνὴ ἐν τοῖς πέρασιν, ὡς φωτοφόρος, χρυσαυγὴς ἀνατολή· διὸ κἀμοὶ ἀνάτειλον, φέγγος ἀληθοῦς μεταγνώσεως.

Μητρικῇ χρηστότητι ἀγαθουργῷ, ἐπικαμπτομένη Μητρόθεε, μὴ διαλίπῃς, πρὸς εἰσόδους δεξιᾶς, καθοδηγεῖν τοὺς κράζοντας· δόξα σοι Ἁγνὴ Ὁδηγήτρια.

Ἄνωθεν διέκτεινον, ὡς συμπαθής, τὴν σὴν δεξιὰν τὴν πανάγαθον, καὶ τῶν οἰάκων, τῆς ζωῆς ἡμῶν Ἁγνή, ἐπιλαβοῦ καὶ ἴθυνον, πρὸς τρυφὴν ἡμᾶς τὴν αἰώνιον.

Σὺ εἶ Ὁδηγήτρια καὶ κηδεμών, σὺ εἶ πρὸς Θεὸν καθοδήγησις, τῶν σὲ ὑμνούντων, Πολυδόξαστε Ἁγνή· τί οὖν σοι προσενέγκωμεν, ἀνθ' ὧν ἐντρυφῶμεν χαρίτων σου;

Δεύτερος. Τὴν θείαν ἐννοήσας σου.

Ἡδεῖα καὶ ὡραία ἡ ὄψις σου, οἱ δὲ τερπνοί σου ὀφθαλμοί, ὡς Ἐσεβῶν λίμναι, εὔδιοι, πλήρεις ἐλέους καὶ οἴκτου, Παρθένε Ὁδηγήτρια πέλουσι.

Μαστοί σου ὡς νεβροὶ δύο δίδυμοι, αἱ σιαγόνες δὲ Ἁγνή, ὥσπερ φιάλαι ἀρώματος, ἀρωματίζουσαι κόσμῳ, χαρίτων Ὁδηγήτρια εὔπνοιαν.

Ὡς κόκκινον σπαρτίον τὰ χείλη σου, ἡ λαλιά σου δὲ τερπνή, καὶ ὁ μυκτήρ σου ὁ ἔντεχνος, ὡς πύργος ὤφθης Λιβάνου, σκοπεύων Δαμασκοῦ Κόρη πρόσωπον.

Νεάνιδες ὀπίσω σου ἔδραμον, διοσφρανθεῖσαι νουνεχῶς, τῶν ἱματίων τῶν μύρων σου, καὶ εἰς ναὸν Βασιλέως, εἰσήλασαν φαιδρῶς Ὁδηγήτρια.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ Ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσι σε, τὴν εἰρήνην βραβεύουσα. (Δίς).

Παράδεισος ἔμψυχος, λειμὼν θεοβλαστούργητος, καὶ ἀμφιλαφὴς κῆπος εὐώδης, ἀγεωργήτως τὸν γεωργὸν τῆς ζωῆς, φέρουσα ὡς ξύλον νοητόν, Θεοτόκε Ἄχραντε, ἀληθῶς ἐχρημάτισας.

Ἀκλύστως κυβέρνησον, καὶ ἀπλανῶς ὁδήγησον, ὡς χειραγωγὸς καὶ κυβερνῆτις, ἐπὶ λιμένα τῶν θεϊκῶν ἐντολῶν, τοὺς χειμαζομένους χαλεπῶς, Κόρη Ὁδηγήτρια, τῇ μανίᾳ τοῦ ὄφεως.

Παντίσασα ἔκπλυνον, ὑσσώπῳ μετανοίας με, τὸν λελεπρωμένον τῇ κακίᾳ, καὶ ἴθυνόν με τῇ σῇ εὐσπλάχνῳ ροπῇ, πρὸς ζωὴν ἐνάρετον Ἁγνή, τὸν οἰκτρόν σου πρόσφυγα, Ὁδηγήτρια Δέσποινα.

Θεοῦ πόλις ἄσειστος, καὶ ὄρος ἀλατόμητον, στάξον γλυκασμὸν καὶ εὐφροσύνην, τῷ ἐπὶ ὄρη νῦν πλανωμένῳ Ἁγνή, πάσης παραβάσεως δεινῶς, καὶ ἔνθεν με ἕλκυσον, πρὸς γνησίαν μετάνοιαν.

Δεύτερος. Ὁ Ἀναβαλλόμενος.

Γ μύρναν ἀγαθότητος, στάζουσι Πάναγνε, αἱ χεῖρες αἱ τορνευταί σου, πλήρεις δὲ οἱ δάκτυλοι, νάρδου συμπαθείας, ὁρῶνται Ὁδηγήτρια.

Ὑ ψηλὸς Πανάμωμε, ὡς ἐλεφάντινος, πύργος ὡραῖος ὁ τράχηλός σου, ὡς δὲ οἶνος ἥδιστος, ὁ σεπτός σου λάρυγξ, Παρθένε Ὁδηγήτρια.

Γ ἴδοσαν βασίλισσαι, καὶ θυγατέρες, σε, τὴν ἐν γυναίοις ἐκλελεγμένην, πλησίον τοῦ Κτίστου σου, καὶ ἀνύμνησάν σου, τὴν δόξαν Ὁδηγήτρια.

Ἰ δοὺ ἡ βασίλειος, κλίνη τοῦ κτίσαντος, ἥνπερ κυκλοῦσιν, οἱ δεδραγμένοι δυνατοὶ ἑξήκοντα, νοητῆς ρομφαίας, σὺ πέλεις Ὁδηγήτρια.

Καταβασία. Ἑξέστη τὰ σύμπαντα.

Ὠδὴ στ΄. Ὁ Εἱρμός.

Μ ὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες. (Δίς).

Ἐ πιφανεῖσα κυβέρνησον, Παρθένε τῶν πιστῶν Ὁδηγήτρια, τοὺς θαλαττεύοντας, ἐν τῷ πελάγει τῶν θλίψεων, πρὸς γαληνὸν λιμένα, τῆς προμηθείας σου.

Ν ομοθεσία τοῦ Πνεύματος, κατεύθυνον ἡμῶν Ὁδηγήτρια, τὰ διαβήματα, ὡς ἂν ἠθῶν καθαρότητα, τῷ Ζωοδότῃ Λόγῳ, καρποφορήσωμεν.

Ἐ πικουροῦσα τοῖς δοῦλοις σου, διέπουσ φιλευσπλάχνῳ σου χάριτι, ἡμᾶς ἑκάστοτε, καὶ ὁδηγεῖς Ὁδηγήτρια, πρὸς εὐκληρίαν θείαν, τῶν ὑπὲρ ἔννοιαν.

Καταφυγὴ καὶ ἀντίληψις, καὶ σκέπη ἀρραγὴς καὶ ὀχύρωσις, καὶ ἱλαστήριον, γενοῦ Παρθένε τοῖς δούλοις σου, τοῖς ἀτενῶς ὁρῶσι, πρὸς σὲ τὴν εὔσπλαχνον.

Δεύτερος. Μαινομένην κλύδωνι.

Θεομωνία ἄσυλος, ἡ νηδύς σου σίτου νοητοῦ, πεφραγμένη κρίνοις καθ' ἃ γέγραπται, ὤφθη ἡμῖν, ὡς ἀληθῶς Ὁδηγήτρια.

Ἐκλεκτὴ ὡς ἥλιος, ὡς σελήνη στίλβουσα φαιδρῶς, τοῖς ὑπερφυέσιν ἀμαρύγμασι, πάσης χαρᾶς, πληροῖς ἡμᾶς Ὁδηγήτρια.

Ὀσμὴν χαριτόπνοον, μανδραγόραι τῶν σῶν ἀρετῶν, τῆς ζωῆς τῷ μύρῳ Κόρη ἔδωκαν, ὅθεν ἐκ σοῦ, ὤφθη ἡμῖν Ὁδηγήτρια.

Κῆπόν σου εἰσέδραμον, καὶ κατέβην εἰς φυταλιάς, τῶν ὑπερηδίστων ἀρωμάτων σου, ὁ σὸς Τἱός, ἀσματικῶς σοι βοᾷ Πανάχραντε.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῇ τῶν πιστῶν Ὁδηγητρίᾳ καὶ προστάτιδι
Τῇ ὁδηγούσῃ πρὸς ζωὴν ἡμᾶς αἰώνιον
προσκομίζομεν τὸν ὕμνον σοι Θεοτόκε.
Ἀλλ' ὡς ἔφορος τῶν δούλων καὶ ἡγήτειρα
μὴ ἐλλείπῃς κατευθύνειν πρὸς τὰ κρείττονα
τοὺς βοῶντάς σοι, Χαῖρε πάντων βοήθεια.

Ὁ Οἶκος.

Ἄνωθεν ὁδηγοῦσα, πρὸς ὁδοὺς σωτηρίας, μὴ παύσῃ Θεοτόκε Μαρία, τοὺς ἐξαιτουμένους ἐκ ψυχῆς, τὴν μητρικὴν ἀληθῶς ὁδηγίαν σου· ὁδηγὸς γὰρ καὶ σύμμαχος, χρηματίζεις τῶν σοὶ βοώντων.

Χαῖρε δι' ἧς Θεὸς σαρκοῦται
Χαῖρε δι' ἧς βροτὸς θεοῦται
Χαῖρε τῆς ἀρχαίας βουλῆς ἀποκάλυψις
Χαῖρε τῆς προτέρας εὐκλείας ἀνάκλησις
Χαῖρε ὕψος ἀνερμήνευτον εὐδοκίας τοῦ Θεοῦ
Χαῖρε βάθος ἀκατάληπτον τῆς κενώσεως Χριστοῦ
Χαῖρε ὅτι ὑπάρχεις κηδεμὼν Ὀρθοδόξων
Χαῖρε ὅτι σκεδάζεις τὰς βουλὰς κακοτρόπων
Χαῖρε πιστῶν ὁδηγία ἕτοιμος
Χαῖρε ψυχῶν θυμηδία ἔνθεος
Χαῖρε δι' ἧς τῶν κακῶν ἐκλυτροῦμαι
Χαῖρε δι' ἧς τῷ Θεῷ οἰκειοῦμαι
Χαῖρε πάντων βοήθεια.



ΣΥΝΑΞΑΡΙΟΝ

Τῇ κ'. τοῦ αὐτοῦ μηνός, ἐτήσιον ἑορτὴν ἄγομεν εἰς τιμὴν καὶ μνήμην τῆς Ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τῆς «Ὁ δ η γ η τ ρ ί α ς».

Στίχ. Ἰθύνειν ἡμᾶς καὶ ὁδηγεῖν τοῖς κρείττω.

Δυσωπήθητι τοῖς οἰκτιρμοῖς σου Κόρη.

Εἰκάδι Παμμεδέουσαν ἐσθλ' αὐδὴ γλυκυθύμως ὕδει.

Ταῖς τῆς Ἀχράντου σου Μητρὸς πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. (Δίς).

Ὑδατόρρυτε, νεφέλη ζωοπάροχε, ἡ ὑετίζουσα, τῆς αἰωνίου χαρᾶς, τὸ νᾶμα τὸ ἥδιστον, Θεοχαρίτωτε, δρόσον πάντερπνον, ψυχῶν εἰς περιποίησιν, ὄμβρησον τοῖς σὲ ὑμνοῦσι.

Τῶσιν σώματος, ῥῶσιν ψυχῆς ἀδάπανον, Θεογεννήτρια, τοῖς τηκομένοις δεινῶς, ἀτρύτοις νοσήμασιν, ὑψόθεν βράβευσον, καὶ κατάσβεσον, τὴν τῶν παθῶν μου κάμινον, δροσισμῷ τοῦ σοῦ ἐλέους.

Ἴδε Ἄχραντε, εὐσπλάχνῳ σου ἐν ὄμματι, εἰς τὴν ταπείνωσιν, τῶν σῶν οἰκτρῶν ἱκετῶν, καὶ πάντας ὁδήγησον πρὸς ζωὴν ἔνθεον, Ὁδηγήτρια, ἐκ τῶν περιπλανήσεων, τοῦ δολίου βροτοκτόνου.

Ὡς ἡγήτειρα, καὶ κηδεμὼν καὶ ἔφορος, Κόρη Ὑπέρλαμπρε, τῆς Ἐκκλησίας Χριστοῦ, ἡμῖν ἐξομάλισον, τὴν θείαν εἴσοδον, τρίβου σκάνδαλα, ἐκ τῶν ποδῶν σκεδάζουσα, τῶν ἀεί σοι προσιόντων.

Δεύτερος. Ὁ ὑπερυψούμενος.

Ὑδωρ τὸ ζωήρρυτον, τὸ ροιζοῦν ὡς γέγραπται, ἐκ Λιβάνου ἔφερες, ὡς φρέαρ θεόβρυτον, πρὸς ζωὴν τῶν νεκρωθέντων, Ὁδηγήτρια Παρθένε.

Ἥλιον πρώτων εὔπνοιαν, ἡ τῆς εὐσπλαγχνίας σου, ὁσμὴ ἀγαθότροπος, ὡς ὁσμὴ τερψίθυμος, νικᾷ καὶ ὑπερβαίνει, Ὁδηγήτρια Παρθένε.

Ὡς στύλοι μαρμάρινοι, αἱ κνῆμαί σου πέλουσι, τορνευταὶ δὲ ὤφθησαν, καὶ χρυσαῖ αἱ χεῖρές σου, βαστάζουσαι ὡς βρέφος, Θεοτόκε τὸν Δεσπότην.

Ἥλιον νύμφη Θεοῦ ἄνυμφε, τί ἐκαλλιώθησαν, τὰ σὰ διαβήματα! τί δὲ ὡραιώθησαν αἱ ἁγναί σου σιαγόνες, ὡς φυταλιαὶ χαρίτων!

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. (Δίς).

Γνώμην οὐρανόφρονα καὶ θείαν, καρδίαν δὲ καθαρὰν καὶ ἀκηλίδωτον, εὐσεβῶς προσφέρειν με, ἀληθῶς ἐνίσχυσον, Παρθένε

Ὁδηγήτρια, καθοδηγοῦσά με, πρὸς τρίβους θεϊκῶν μαρτυρίων, πρὸς δικαιοσύνης θεοειδεῖς ὑψώσεις.

Ἔκτεινον τὴν χεῖράν σου Παρθένε, τὴν θείαν καὶ κραταιὰν καὶ ἀγαθόδωρον, καὶ ἡμᾶς ἀνέλκυσον, ἐκ τῆς ματαιότητος, καὶ πρὸς ζωὴν ὁδήγησον τὴν ἀτελεύτητον· σὺ γὰρ καὶ ὁδηγὸς καὶ προστάτις, τῶν ἐπιβοωμένων, τὴν σὴν ἐπιστασίαν.

Τῇ ἁβδῳ τῆς σεπτῆς σου ὁδηγίας, ἐκ πάσης ἀποπλανήσεως τοῦ δράκοντος, ἴθυνον Πανάμωμε, καὶ καλῶς ὁδήγησον, πρὸς τρίβον τὴν ἀπάγουσαν πρὸς φῶς αἰώνιον, τοὺς πίστει ἀκλινεῖ προσκυνοῦντας, τῶν σῶν μεγαλείων σου, τὰς θεαυγεῖς αἰνέσεις.

Ἄκουσον φωνῆς τοῦ στεναγμοῦ μου, κραυγὴν δὲ τὴν τῆς ψυχῆς μου ἐνωτίσθητι, καὶ τῶν συμπνιγόντων με, καὶ κατασπιλούντων με, ἀγριωτάτων Πάναγνε παθῶν ἀπάλλαξον, καὶ λάμψον μοι αὐγὴν μετανοίας, ὡς ἂν τῷ Τριφώτῳ, φωτὶ εὐαρεστήσω.

Δεύτερος. Σοὶ τῷ Παντουργῷ.

Γῆ πολυανθής, καὶ ὄρος ἀρωμάτων, ἐν ᾧ κατεσκήνωσε, καθάπερ γέγραπται, ὁ ἐν τοῖς κρίνοις, ποιμαίνων Θεὸς Λόγος, ὤφθης Θεοτόκε, βροτῶν εἰς σωτηρίαν.

Ἔδωκαν ὀσμήν, τῆς σῆς ἁγνείας κρίνα, καὶ κόσμον ἐπλήρωσαν, ὀσμὴν χρηστότητος, καὶ εὐωδίας Χριστοῦ ὑπεραγία, μόνη Παναγία, βροτῶν ἡ ὁδηγία.

Τῇ ὁδον ἀνθηρόν, τοῦ βίου ταῖς κοιλάσιν, ὡς ὅλη ἀκήρατος, καὶ ὑπεράμωμος, ὤφθης Παρθένε, τῷ αἰωνίῳ Λόγῳ, τῷ ἐκ σοῦ τεχθέντι, καὶ σώσαντι τὸν κόσμον.

Ἄμπελος τερπνή, Θεόφυτος, ἁγία, τὸν βότρυν τὸν πέπειρον, πέλεις βλαστήσασα, παλινζωΐας, τὸ νέκταρ καὶ τὸν οἶνον, στάζοντα Παρθένε, τοῖς πάλαι νεκρωθεῖσι.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμποδουχούμενος, πανηγυρίζετω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν, τῆς Θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Σὺ πρὸς τὰς ὁδούς, ὁδήγησον Ἄχραντε ὡς Ὁδηγήτρια, τὰς πρὸς ἀτελεύτητον, λῆξιν ἀγούσας καὶ ἀδιάδοχον, τοὺς ἐπιβοωμένους σε καὶ ἐκβοῶντάς σοι· χαῖρε πάντων, σκέπη καὶ βοήθεια, καὶ σεπτὴ ὁδηγὸς πρὸς τὰ κρείττονα.

Ἴθι συμπαθῶς, ὡς μήτηρ φιλόστοργος καὶ χαροπάροχος, μόνη Παντευλόγητε, καὶ τοὺς ἐν πλάνῃ δεινῶς προσκόπτοντας, πρὸς ἀσφαλείας ἴθυνον εὐθεῖαν εἴσοδον, ὡς ἂν δόξης, τῆς ὑπὲρ κατάληψιν, κληρονόμοι ὀφθῶμεν καὶ μέτοχοι.

Μνήμην τῶν πολλῶν, καὶ ξένων θαυμάτων σου καὶ δωρημάτων σου, δι' ὧν τρόποις κρείττοσιν, εὐεργετοῦσα σώζεις τοὺς δούλους σου, πανευφροσύνως ἄγοντες τῶν μεγαλείων σου, τὰς ἐλλάμψεις, Κόρη μεγαλύνομεν, σῆς εὐνοίας τρυγῶντες τὸ ἔλεος.

Ὄρος τοῦ Θεοῦ, δασὺ καὶ κατάσκιον καὶ ἀλατόμητον, κόσμου Ὁδηγήτρια, τὸν ἀπωλείας δυσβάτοις ὄρεσιν, οἰκτρῶς περιπλανώμενον πρὸς ὄρος ἅγιον, ἐναρέτου, βίου με ἀνθέλκυσον, τῆς ψυχῆς μου τὸν ρύπον καθαίρουσα.

Ὑμνους καὶ ὠδάς, ἃς πόθῳ ὑφαίνομεν ψυχῆς θερμότητι, τῇ σῇ ἀγαθότητι, ὥσπερ νηπίων δέχου ψελλίσματα, τῷ πόθῳ δὲ κατάλληλον τὴν ἀνταπόδοσιν, Θεοτόκε, ἡμῖν ἀντιμέτρησον, τῶν πταισμάτων τὴν λύσιν βραβεύουσα.

Δεύτερος. Ἡσαΐα χόρευε.

Στόματι πανάγνῳ σου, Παναγία πάντων ἡ χαρά, ὡς βρέφος ἐπωλένιον τὸν Θεόν, ἐφίλησας Ἄχραντε, ἐκ φιλημάτων τῶν μητρικῶν· διὸ Ὁδηγήτρια, μεγαλύνομεν τὴν δόξαν σου.

Ἰδὸν θυγατέρες σε τῆς ἁγίας Ἱερουσαλήμ, βαστάζουσαν ὡς βρέφος ἐν ταῖς χερσί, τὸν πάντα βαστάζοντα, καὶ ἐθαμβήθησαν ἀληθῶς, καὶ ἦνεσαν Ἄχραντε, τῆς σῆς χάριτος τὸ μέγεθος.

Ἡμία ἡ πλησίον μου, ὡς ὡραία, ὡς περικαλλής, ὡς θάμβος τῶν Ἀγγέλων ἐν οὐρανοῖς, ὡς σέλας δὲ ἔκλαμπρον, τῶν εὐσεβούντων ἐπὶ τῆς γῆς· βοᾶ σοι Πανάμωμε, ὁ Υἱός σου ὁ Ὑπέρθεος.

Ὁ ποιμαίνων Ἄχραντε, ἐν τοῖς κρίνοις τρόπῳ νοητῷ, εἰς κῆπόν σου εἰσῆλθεν τὸν εὐανθῆ, συλλέγειν τὰ κρίνα σου, καὶ διαπνέειν τοῖς ἐπὶ γῆς, διὰ σοῦ Δέσποινα, τὴν ὀσμὴν τὴν ζωοδώρητον.

Ὕπνος με κατέλαβεν, ἀμελείας τῆς ψυχοβλαβοῦς, ὠδῖνες τοῦ θανάτου ὀδυνηραί, κυκλοῦσί με Ἄχραντε, ἡ δὲ ψυχή μου πλήρης κακῶν· σὺ οὖν βελτίωσον, τὴν ἀθλίαν μου κατάστασιν.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸς τοῖς ἄστροις.

Στυλοειδὴς νεφέλη, ἡ ὁδηγία σου Ἁγνή, διὰ παντὸς καθορᾶται τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, πρὸς τὴν αἰώνιον λῆξιν, τοὺς εὐσεβεῖς ὁδηγοῦσα.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Προστάτις καὶ ὑπέρμαχος, καὶ κηδεμὼν καὶ ἔφορος, καὶ ἀσφαλὴς ὁδηγία, πρὸς τὰς εἰσόδους τὰς ἄνω, Παρθένε Ὁδηγήτρια, ἀεὶ ἔσο τοῖς δούλοις σου, ἡμῖν ἐξομαλίζουσα, ἐπιστασίᾳ σου Κόρη, τῆς σωτηρίας τὴν τρίβον.

Εἰς τοὺς Αἴνους

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ταγμάτων τὴν ὑπερέχουσαν, τὴν ἐπὶ γῆς ἀφθόρως, τὸν Ὑπέρθεον Λόγον, τεκοῦσαν ὑπὲρ λόγον τὴν τοῦ Ἀδάμ, ἀνορθούμενον ἔκπτωσιν, τὴν Θεοτόκον Μαρίαν χρεωστικῶς, ἀνυμνήσωμεν γηθόμενοι.

Τὴν σωτηρίαν τοῦ κόσμου καὶ ὁδηγήτριαν, τὴν πρὸς δικαιοσύνην, ἀληθῶς ἀναβάσεις, διέπουσαν ἐνθέως ἡμῶν τὰς ψυχάς, καὶ Κυρίῳ προσάγουσαν, τὴν ὑπερένδοξον Κόρην ὡς δι' αὐτῆς, ὁδηγούμενοι δοξάσωμεν.

Τῇ ἡγεσίᾳ σου Κόρη χειραγωγούμενοι, τὰς σκολιὰς τοῦ πλάνου, τροχιὰς καὶ ἐνέδρας, ἐκκλίνομεν ἐν τάχει καὶ πρὸς τρυφήν, κληρουχίας τῆς κρείττονος, ἐν εὐφροσύνῃ στελλόμεθα καὶ χαρᾷ, ἀνυμνοῦντές σου τὴν πρόνοιαν.

Θεοπαρόδευτε κλίμαξ πύλη οὐράνιε, ὑπάνοιξον τὰς πύλας, βασιλείας τῆς ἄνω, τοῖς πίστει καὶ ἀγάπῃ εἰλικρινεῖ, ἐν μετανοίᾳ βιώσασι, καὶ στῆσον τούτους Παρθένε τῷ σῷ Υἱῷ, σεσωσμένους τῇ πρεσβείᾳ σου.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Τὴν καλλονὴν τοῦ Ἰακώβ, ἣν ὁ Κύριος ἠρετίσατο, τὴν Θεοτόκον Μαρίαν, μακαρίσωμεν λέγοντες· Εὐλογημένη σὺ ἐν γυναιξίν, ἡ πρὸ αἰώνων ἐκλεχθεῖσα, τῷ Βασιλεῖ τῆς κτίσεως, καὶ ἡ γαστήρ σου μακαρία, ἡ τὸν ἀχώρητον χωρήσασα, καὶ κόσμῳ προαγαγοῦσα, σαρκὸς ὁμοιώματι. Ἀλλ' ὦ Παρθένε Δέσποινα, μὴ παύσῃ ὁδηγοῦσα καὶ διέπουσα, πρὸς ἀρετῶν κατάκτησιν, τοὺς πόθῳ εἰλικρινεῖ προσιόντας σοι, ὡς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν κανόνων τῆς Θεοτόκου ἡ γ΄ καὶ στ΄. ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς 21ης Νοεμβρίου. Κοινωνικόν. Τὸ πρόσωπόν σου λιτανεύσουσι...

Μεγαλυνάριον.

Ἰθυνον πρὸς τρίβους τῶν ἀρετῶν, Κεχαριτωμένη, Ὁδηγήτρια τῶν βροτῶν, τοὺς τὰ μεγαλεῖα, τὰ σὰ ὑμνολογοῦντας, καὶ σὺν τῷ Ἀρχαγγέλῳ, χαῖρε βοῶντάς σοι.

Δίστιχον

Ὁδήγησον Ἁγνὴ πρὸς εὐθεῖαν τρίβον

Γεράσιμον αἰτοῦντα σὴν ὁδηγίαν.